col 11 (7)

δυσπαίπαλα κύματα· νω-
μαῖ δ' ἐν ἀτ¦ρύτωι χάει
λεπτότ¦ριχα σὺν ζεφύρου πνοι-
αῖσιν ἔθειραν ἀρίγ¦νω-
τος {μετ'} ἀνθρώποις ἰδεῖν·
τὼς νῦν καὶ ⟨ἐ⟩μοὶ μυρία πάντᾶι κέλευθος
ὑμετέραν ἀρετάν
ὑμνεῖν, κυανοπ¦λοκάμου θ' ἕκατι Νίκας
χαλκεοστέρνου τ' Ἄρηος,
Δεινομένευς ἀγέρωχοι
παῖδες· εὖ ἔρδων δὲ μὴ κάμοι θεός.
ξανθότ¦ριχα μὲν Φερένικον
Ἀλφεὸν παρ' εὐρυδίναν
πῶλον ἀελλοδρόμαν
εἶδε νικάσαντα χρυσόπαχυς Ἀώς,

*Β′*

Πυθῶνί τ' ἐν ἀγαθέᾶι·
γᾶι δ' ἐπισκήπτων πιφαύσκω·
οὔπω νιν ὑπὸ π¦ροτέ[ρω]ν
ἵππων ἐν ἀγῶνι κατέχ¦ρανεν κόνις
πρὸς τέλος ὀρνύμενον·
ῥιπᾶι γὰρ ἴσος βορέα
ὃν κυβερνήταν φυλάσσων
ἵεται νεόκ¦ροτον
νίκαν Ἱέρωνι φιλοξείνωι τιτύσκων.